ἐν τοῖς μουσικοῖς ἁρμονίαν φθείρει καὶ διόλλυσιν, εἴ τις σφοδρότερον κρούει τὰς χορδὰς ἐνσκήπτων. Ἐντεῦθεν δῆλόν ἐστιν ὅπως τὰ φυτά, ὥσπερ ἔμψυχα ὄντα, οὐκ αἰσθάνεται, διότι οὐκ ἀντιλαμβάνεται τῶν εἰδῶν μόνων τῶν ἁπτῶν, ἐπειδὰν ψύχηται, ἢ θερμαίνηται ὑπ' αὐτῶν, ἀλλ' ὁμοῦ μετὰ τῆς ὕλης αὐτῶν ἅπτεται, καὶ ὅλως τὰ ὑπ' ἀμφοῖν τοῦ τε εἴδους καὶ τῆς ὕλης ἅμα διατιθέμενα τῶν αἰσθητῶν ἀναίσθητά εἰσιν, πάσχοντα μέν, οὐ συνειχότα (?) δέ· διὸ καὶ λέγεταί ποτε ὁ ἀὴρ ὄζειν ὑπὸ τῶν ὀσφραντῶν πάσχων ἐν τῷ διαβιβάζειν τὴν ὀσμὴν πρὸς τὰ αἰσθανόμενα· οὐκ ὀσφραίνεσθαι δὲ λέγεται, ἢ αἰσθάνεσθαι: —

## Sur le livre III.

### Ἐκ τοῦ τρίτου.

Ὅτι οὐκ εἰσὶ πλείους αἰσθήσεις τῶν πέντε τῶν διωρισμένων. Εἰ γὰρ ἐλλείπει τις αἴσθησις ἄλλη, ἐλλείπει καὶ τὸ κατ' αὐτὴν αἰσθητήριον, καὶ ἔσται τινὰ αἰσθητά, ὧν μὴ ἔστι καταληπτικὴ αἴσθησις καὶ τὸ οἰκεῖον ταύτης αἰσθητήριον· τοῦτο δ' οὐκ ἀληθές, ὡς δῆλον μάλιστα ἐπ' ἀνθρώπου τοῦ τελειότερον τὴν αἰσθητικὴν ψυχὴν ἔχοντος καὶ ὑψηλοτέρᾳ ψυχῇ ζῶντος. Ἔνια μὲν γὰρ τῶν ζῴων, ὡς τὰ ζωόφυτα, μίαν μόνην ἔχει αἴσθησιν, τὴν ἁφήν· ἔνια δὲ δύο αἰσθήσεις ἔχει, καὶ ἔνια τρεῖς ἢ τέτταρας, ἐν οἷς πρώτη ἐστὶν ἡ ἁφή, καὶ οὐκ εἰσὶν αἱ ἄλλαι χωρὶς αὐτῆς οὐδαμοῦ, εἰ καὶ αὕτη χωρὶς τῶν ἄλλων εὑρίσκεται. Ἐν οἷς δὲ τὸ κατὰ τόπον κινεῖσθαι, ὃ τῆς ζωτικῆς ψυχῆς ἐστι τελειότης, πᾶσαί εἰσιν, οὐ πλείους δέ, ὡς εἴρηται, τῶν πέντε. Καὶ αἰσθητὰ δὲ καθόλου πέντε, ὡς εἴρηται· κίνησις, στάσις, μέγεθος, ἀριθμός, σχῆμα· ταῦτα γὰρ κοινῶς ἐνθεωρεῖται τοῖς αἰσθητοῖς· διὸ ἑκάστη αἴσθησις οὐ τοῦ οἰκείου μόνον ἀντιλαμβάνεται αἰσθητοῦ, οἷον ἡ ὄψις τοῦ ὁρατοῦ, ἀλλὰ σὺν αὐτῷ καὶ τούτων ὡς συνόντων τῷ ὁρωμένῳ. Ὅθεν οὐδὲ κατὰ συμβεβηκὸς τούτων ἀντιλαμβάνεται, ὡς ἐπ' ἄλλων τῶν κατὰ συμβεβηκός, ἅμα τῷ οἰκείῳ αἰσθητῷ συνυποπιπτόντων τῇ αἰσθήσει καὶ συγγνωριζομένων, ὡς ὅταν ἅμα ὁρῴη καὶ λευκὸν εἶναι τὸ προσιὸν ἡ ὄψις, καὶ υἱὸν Κλέωνος· ἀλλὰ καθ' αὑτὸ τῶν τοιούτων αἰσθάνεται, διότι οὐκ ἄνευ αὐτῶν ἐστιν αἰσθητὸν τὸ ἑκάστῃ αἰσθήσει αἰσθητόν, ὡς οἰκείως συνόντων.

Εἶτα δείκνυσι διὰ τί μὴ μία αἴσθησις ἡμῖν, ἀλλὰ πλείους· καὶ ὅτι
f. 217 τῇ αὐτῇ αἰσθήσει ᾗ ὁρῶμεν, ταύτῃ | καὶ αἰσθανόμεθα ὅτι ὁρῶμεν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως αἰσθήσεων ἐπεξειργασμένως δείκνυσι λύων καὶ ἐνστάσεις τινάς· καὶ ὅτι τὸ ἐνεργείᾳ αἰσθητικὸν καὶ ἐνεργείᾳ αἰσθητὸν ἅμα· καὶ ἡ ἐνεργείᾳ αἴσθησις καὶ τὸ ἐνεργείᾳ αἰσθητόν· καὶ ἡ ἐνέργεια μία ἐν ἀμφοῖν τῷ ὑποκειμένῳ, τῇ σχέσει ἢ τῷ λόγῳ διαιρουμένων· καὶ ὅτι ἑκάστου αἰσθητοῦ λόγος τίς ἐστιν ἡ κατ' αὐτὸ αἴσθησις, ὡς ἡ ἀκοὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

τῆς συμφώνου καὶ ἡρμοσμένης φωνῆς λόγος τίς ἐστιν αὐτῆς· ὅθεν καὶ τὸ ὑπερβάλλον τὸ μέτρον αἰσθητὸν φθείρει τὴν αἴσθησιν· τὰ δὲ κεκραμένα καὶ κατὰ λόγον πως ἔχοντα ἐπὶ πάσης αἰσθήσεως τέρπει τὴν αἴσθησιν ὡς ὁμόλογά πως ὄντα καὶ συνᾳδόντως αὐτῇ ἔχοντα καὶ οἰκείως· καὶ ὅτι μία ἐστὶ καθόλου ἡ αἴσθησις εἴτουν ἡ αἰσθητικὴ δύναμις, ᾗτινι τῶν διαφόρων αἰσθητῶν ἀντιλαμβανόμεθα διαφόροις τρόποις τε καὶ ὀργάνοις· οὐ γάρ ἐστιν ἐν τοῖς αἰσθητηρίοις πρώτη ἡ αἴσθησις, ἀλλὰ ἄλλο τι ἔσωθέν ἐστιν, ὡς μία τις δύναμις ὑπηρετικῶς χρωμένη τοῖς ἔξω ὀργάνοις, ὡς δεσπότις ὑπομνηματισταῖς καὶ εἰσαγγελεῦσι διαφόροις. Ὅθεν οὐδ' ἐν κεχωρισμένῳ χρόνῳ, ἀλλ' ἅμα ἡ αἴσθησις γίνεται τῶν διαφόρων εἰδῶν καὶ ἡ περὶ αὐτῶν κρίσις ἐν τῷ ἔνδοθεν κριτικῷ, ἃ διὰ τῶν διαφόρων αἰσθητηρίων κατὰ ταὐτὸν ἐκεῖ παραπέμπονται, καὶ ἔοικεν ἡ μοναδικὴ αὕτη δύναμις τῆς ἔνδον αἰσθήσεως, τῆς δεχομένης καὶ κινούσης τὰ εἴδη τῶν ἔξωθεν εἰσαγγελλομένων αἰσθητῶν, τῇ στιγμῇ, μᾶλλον δὲ τῷ κέντρῳ, εἰς ἣν πᾶσαι αἱ ἐκ τῆς περιφερείας γραμμαὶ περατοῦνται. Ὡς μὲν γὰρ κέντρον, μία αὕτη· ὅτι δὲ πλειόνων γραμμῶν καὶ διαφόρων πέρας ἐστίν, ὡς πολλαὶ θεωροῦνται, καὶ πῇ μὲν ἐστὶν ἀδιαίρετος καθ' αὑτήν, πῇ δὲ διαιρετὴ τῇ ἀποβλέψει τῶν εἰς αὐτὴν περαινουσῶν γραμμῶν· καὶ δῆλον ὅτι οὔτε ὄψις ἡ πρώτη ἐν τῇ κόρῃ, οὔτε ἀκοὴ ἡ πρώτη ἐν τοῖς ὠσίν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ἀλλ' ἐν τῷ πνεύματι τῷ πρώτῳ. Καὶ πέντε μέν εἰσι τὰ αἰσθητήρια, οἱονεὶ τοῦ πνεύματος τοῦ αἰσθητικοῦ ὡς ἐκ μιᾶς πηγῆς δι' ὀργάνων ὀχετοί· μία δὲ ἡ αἴσθησις ἐπὶ τοῦ ἑνὸς πνεύματος βεβηκυῖα, πρὸς ἣν αὖ ὥσπερ πέρας οἰκεῖον ἀναστρέφουσιν οἱ τοιοῦτοι ὀχετοί, τὰ εἴδη τῶν αἰσθητῶν πνευματικῶς οἰκείως αὐτῇ προσερείδοντες ὡς ἑνὶ κανόνι καὶ λόγῳ καὶ κριτηρίῳ. Ταύτῃ οὖν τῇ αἰσθήσει κυρίως αἰσθανόμεθα καὶ τὰ αἰσθητὰ κρίνομεν ὡς πρώτῃ ἀρχῇ τοῦ αἰσθάνεσθαι καὶ ὡς πέρατι. Ὅθεν καὶ ἀπαθῶς αὐτὰ κρίνει θεωροῦσα καὶ μηδέν τι προσπάσχουσα, οἷον τὰ ἔξω αὐτῆς ὄργανα:

| Ὅτι ἑπομένως περὶ τῆς φαντασίας τὴν μὲν ἐνίων δόξαν, ὅτι ταὐτόν f. 217v
ἐστι τῇ αἰσθήσει, Ἐμπεδοκλέους καὶ Ὁμήρου χρήσεις εἰς τοῦτο τεινούσας παράγων διακρούεται· καὶ ὅτι ἀδύνατόν ἐστι τὴν ψυχὴν τὸ γνωστικὸν καὶ κριτικὸν τῇ πρὸς τὰ πράγματα ὁμοιότητι ἔχειν, καὶ ὅτι ἀδύνατον ταὐτὸν εἶναι τὸ αἰσθάνεσθαι καὶ τὸ λόγῳ χρῆσθαι χρησίμως δείκνυσιν· καὶ ὅτι, εἰ μὴ ταὐτόν ἐστι τῇ αἰσθήσει ἡ φαντασία, ἀλλ' ἐπακολουθεῖ τῇ αἰσθήσει, καὶ οὐκ ἔστιν ἄνευ αἰσθήσεως, ὥσπερ τῇ φαντασίᾳ ἡ λογικὴ κρίσις ἐπακολουθεῖ, ἤτοι ἡ δόξα καὶ ἡ ὑπόληψις καὶ ὅτι ἡ κατὰ λόγον ὑπόληψις εἰς ἐπιστήμην διαιρεῖται καὶ δόξαν καὶ φρόνησιν. Καὶ ἔστιν ἐπιστήμη μὲν ἡ σὺν ἀποδείξει καὶ μετὰ αἰτίας γνῶσις· δόξα δὲ ἡ ἄνευ τοιαύτης βεβαιότητος ὑπόληψις· φρόνησις δὲ περὶ τὰ πρακτὰ ἐπίσκεψις κατὰ λόγον. Καὶ ὅτι φαντασία, ἡ μέν ἐστιν ἀληθής, ὡς τῶν ὄντων ἀνα-



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τύπωσις ἤτοι ἑωραμένων ἢ ἐγνωσμένων· ἡ δὲ ψευδής, ὡς ἀνατύπωσις ὧν μὲν ᾔσθηταί τις, ἢ πεπείραται, ἢ δι' ἀπώλειαν μνήμης καὶ ἀπάτην ἀτευκτῶν καὶ ἀκουσίως, ψευδὴς ἱστοριογράφος γινόμενος. Καὶ ὅτι αἴσθησις μὲν ἀεὶ πάρεστι, φαντασία δὲ οὐκ ἀεί, οὐδ' ἐν βρεφικαῖς ἡλικίαις. Καὶ ὅτι φαντασία ἄλλη μὲν ὕπαρ, ἄλλη δὲ ἐν ὀνείροις. Καὶ ὅτι ἄλλο ἡ φαντασία παρὰ τὴν δόξαν. Καὶ ὅτι, τῆς αἰσθήσεως τριπλῆς οὔσης· ἢ τῶν οἰκείων αἰσθητῶν, περὶ ἃ ὀλίγον ἀποτυγχάνει καὶ ψεύδεται· ἢ τῶν τοῖς οἰκείοις αἰσθητοῖς συμβεβηκότων, ὡς ὅταν ὁρᾷ τις τὸ λευκὸν Κλέωνος εἶναι, περὶ ἃ ὁμοίως ἐνδέχεται αὐτὴν ἀληθεύειν, ἢ ψεύδεσθαι ἀπατωμένην· ἢ τῶν κοινῶν αἰσθητῶν ἤτοι κινήσεων, μεγέθους καὶ τῶν λοιπῶν, περὶ ἃ καὶ αὐτὴν ψεύδεσθαι καὶ ἀληθεύειν ἐνδέχεται· τῆς οὖν αἰσθήσεως οὕτω τριχῶς θεωρουμένης, καὶ ἡ φαντασία ὁμοίως ἔχει, ὡς αἱ τῶν αἰσθητῶν καὶ τῶν αἰσθήσεων καὶ αὐτὴ τὰς ἀρχὰς ἔχουσα. Ὁρίζεται δὲ ἢ ὑπογράφει αὐτὴν οὕτως· φαντασία ἐστὶ κίνησις τῆς ψυχῆς ὑπὸ τῆς αἰσθήσεως τῆς κατ' ἐνέργειαν γινομένης· καὶ ἔστιν ὥσπερ εἰκασία καὶ τύπωσις ἐνδοτέρα ἐκ τῶν ἔξωθεν τῇ αἰσθήσει προσειλημμένων· διὸ καὶ παρῆκται τὸ ὄνομα ἀπὸ τοῦ φάους, ὡς ἐοικυῖα τῇ ὄψει, ἥτις οὐχ ὁρᾷ ἄνευ φάους. Πολλά τε πράττειν ἔχει τὸ ζῷον κατ' αὐτήν, καὶ τοῖς μὲν ἄλλοις ζῴοις ἐστὶν ἀντὶ νοῦ· ἄνθρωποι δὲ χρῶνται ταύτῃ, ὅταν ἐπικαλύπτηται πάθει τινί, φησίν, ὁ νοῦς αὐτοῖς, ὡς ἐν τοῖς ὕπνοις, ἢ ταῖς νόσοις, ἢ μέθαις· τηνικαῦτα γάρ, τοῦ νοεροῦ σχολάζοντος, ἐνεργεῖ τὸ φανταστικόν.

f. 218 | Ὅτι περὶ τοῦ λογικοῦ μορίου τῆς ψυχῆς, καθὸ γινώσκει τε καὶ φρονεῖ, ἑπομένως σκοπούμενος, φησὶν ὅτι ἡ νόησις οὐκ ἔστι πάθησις, ὡς ἐπὶ τῶν αἰσθήσεων εἴρηται· εὐπαθὲς γὰρ τὸ τοιοῦτο τῆς ψυχῆς μόριον· ἀλλὰ τελείωσίς ἐστι τοῦ νοητικοῦ καὶ τῆς ἐνούσης αὐτῷ δυνάμεως ἐνέργεια ἐν τοῖς νοητοῖς. Οὐ γάρ ἐστιν ὁ νοῦς τὰ εἴδη τὰ νοητά, καὶ δῆλον ὅτι οὔτε ἀεὶ νοεῖ, οὔτε τὰ αὐτὰ ἀεί, ἀλλ' ἄλλο μετ' ἄλλο. Ἔστιν ἄρα δυνάμει ὅπερ τὰ εἴδη, ἰδίαν μὲν οὐκ ἔχων μορφήν, δεκτικὸς δὲ πάσης μορφῆς καὶ εἴδους· καὶ τῷ δυνάμει μόνον καὶ τῷ δεκτικῷ συνουσιῶται, καθ' αὑτὸν θεωρούμενος καὶ πρώτῃ τινὶ ἐπιβολῇ, καὶ ἔοικε γραμματείῳ ἀγράφῳ. Διὸ οὐδὲ μεμιγμένος ἐστὶν ὅλῳ τῷ σώματι καὶ τοῖς σωματικοῖς κατὰ φύσιν, ἀλλ' οὐδ' ὀργάνῳ χρῆται σωματικῷ· ἔπασχε γὰρ ἄν τι, ὡς ἡ αἴσθησις τῶν αὐτῶν ὀργάνων μεταλαμβάνει παθῶν, ταῖς τῶν αἰσθητῶν ὑπερβολαῖς πασχόντων τῶν ὀργάνων, καὶ αὐτή τι συμπάσχουσα. Ἀπαθὲς δέ ἐστι, καὶ ἐκ μεγίστων νοημάτων ἐπὶ τὰ εὐτελέστερα τῇ αὐτῇ ἕξει πρόεισιν, καὶ πάνθ' ὁμοίως δέχεται τὰ τῶν νοητῶν εἴδη. Δυοῖν δὲ εἰρημένων σημαινομένων τοῦ δυνάμει πρότερον, ὁ δυνάμει νοῦς ἐν τοῖς νηπίοις ἢ ἀγυμνάστοις ἐστὶ κατὰ τὸ πρῶτον σημαινόμενον, ὡς ἐπιτηδειότης μόνον χωρὶς ἕξεως, ὃν τρόπον τὸ βρέφος δυνάμει ἀγωνιστὴς λέγεται. Ἐν δὲ τοῖς ἠσκημένοις καὶ συνειληφόσι τὰ τῶν νοητῶν εἴδη, κατὰ τὸ δεύτερον

σημαινόμενον, ὡς ἔχων τὴν ἕξιν τοῦ νοεῖν καὶ μὴ ἐνεργῶν κατ' αὐτήν· ὃν τρόπον καὶ τὸν ἐπιστήμονα δυνάμει διχῶς λέγομεν. Ὅταν δὲ τελειωθεὶς τῇ ἕξει καὶ δυνάμει ὢν ὅπερ τὰ νοητά, ἐνεργείᾳ γίνηται ἑκάστοτε ὅπερ αὐτά, τότε κυρίως ἐστὶν ἐνεργείᾳ νοῦς, καὶ τότε νοεῖ καὶ ἑαυτὸν ἐν τῇ τῶν νοητῶν νοήσει καὶ τὸν αὐτὸν τοῖς νοουμένοις γενόμενον· καὶ γὰρ ἐπιστήμη οὐδέν ἐστιν ἄλλο ἢ τὰ ἐπιστητά, οἷον γεωμετρία οὐκ ἄλλο ἐστὶν ἢ τὰ γεωμετρικὰ θεωρήματα, καὶ ὁ νοῦς αὐτά ἐστι τὰ νοήματα, ἐπειδάν, πληρωθεὶς αὐτῶν, περὶ αὐτὰ νοῶν ἐνεργῇ.

Ὅτι ὁ νοῦς τὸ μὲν ἐξ ὕλης καὶ εἴδους συγκείμενον οὐ παντάπασι κεχωρισμένως κρίνει τῆς αἰσθήσεως καὶ τῆς αὐτῇ συζύγου φαντασίας· τὸ δὲ εἶδος αὐτό, ἄϋλον καὶ νοητὸν ὄν, ἀΰλως κρίνει καὶ ἑαυτῷ μόνῳ χρώμενος, καὶ ἔοικε κατὰ τοῦτο τῇ γραμμῇ νῦν μὲν κατ' εὐθεῖαν κινουμένῃ, νῦν δὲ κλωμένῃ πως καὶ περιστρεφομένῃ· ἡ αὐτὴ μὲν γάρ ἐστιν, ἀλλὰ διαιρεῖται τῷ λόγῳ. Οὕτω καὶ ὁ νοῦς, | νοῶν μὲν τὸ εὐθεῖον εἶναι, τουf. 218ᵛ
τέστι τὸν τοῦ εὐθέος λόγον καὶ τὸ εἶδος, γραμμῇ ἔοικεν εὐθείᾳ· νοῶν δὲ τὸ εὐθύ, τὸ ἐν τῷ συνεχεῖ δηλονότι, καὶ τὴν εὐθύτητα μετὰ τοῦ ὑποκειμένου ταύτῃ νοῶν, ἔοικε τῇ γραμμῇ κεκλασμένῃ, ὡς καὶ αὐτὸς τρόπον τινὰ κλώμενος καὶ περιστρεφόμενος ἐκ τῆς οἰκείας εὐθύτητος. Ὅτι δὲ ἄλλο τὸ εὐθὺ καὶ τὸ εὐθεῖον εἶναι, δῆλον ἐστίν.

Ὅτι ὡς ἐπὶ πάντων τῶν ἐνύλων, τῶν τε φυσικῶν καὶ τῶν τεχνητῶν, τὸ μέν ἐστιν ὕλη, τὸ δὲ εἶδος, ἐξ ὧν ἀμφοτέρων σύγκεινται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ὁ μὲν δυνάμει νοῦς ἀνάλογον ἔχει ὕλῃ καὶ ὥσπερ παθητικός ἐστιν· ὁ δὲ ποιητικὸς νοῦς ἀνάλογον εἴδει, οὐκ ἔξωθεν ἐπιών· ἐφ' ἡμῖν γάρ ἐστι τὸ νοεῖν· ἀλλ' ὥσπερ τι φῶς σύμφυτον μέν, ὑποκεκρυμμένον δέ, ἀναθρῷσκον καὶ συμπλεκόμενον τῷ δυνάμει νῷ καὶ καταλάμπον αὐτόν, καὶ εἷς μετ' αὐτὸν τὸ σύμπαν γινόμενος· καὶ ἔστι χρόνῳ μὲν πρότερος ὁ δυνάμει νοῦς· τῇ δὲ φύσει καὶ ἁπλῶς ὁ ποιητικός, ὡς τὸ τέλειον φύσει τοῦ ἀτελοῦς πρότερον, καὶ τῆς δυνάμεως ἡ ἐνέργεια· τελειωθεὶς μέντοι γε οὕτως ὁ νοῦς, αὐτοφυής ἐστιν ἐνέργεια, καὶ οὐσία αὐτῷ ἐστιν ἡ ἐνέργεια ἤτοι τὸ νοεῖν. Καὶ ὅτι οὐ μνημονεύομεν κατὰ τὸν νοῦν· τὸ γὰρ μνημονεύειν ἐν τῷ παθητικῷ νῷ, ὃς φθαρτός ἐστι καὶ μεταβλητός· ὁ δὲ νοῦς θειότερόν τε καὶ ἀπαθές· διὸ καὶ οὐδὲν μνημονεύομεν τῶν ἐν τῷ βίῳ μετὰ τὸν θάνατον.

Ὅτι ὁ ἐνεργείᾳ νοῦς πρῶτον μὲν νοεῖ τὰ ἁπλᾶ, ἐν οἷς οὔτε ἀληθές ἐστιν, οὔτε ψεῦδος, ἤτοι τοὺς ὅρους· εἶτα συντιθεὶς αὐτά, τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τῇ συνθέσει τούτων, ἢ διαιρέσει σκοπεῖ· περὶ γὰρ σύνθεσιν καὶ διαίρεσιν τὸ ψεῦδός ἐστι καὶ τὸ ἀληθές:

Ἐπὶ τούτοις περὶ τοῦ ἀδιαιρέτου διέξεισιν, ὅτι τριχῶς λέγεται, καὶ πῶς ὁ νοῦς νοεῖ αὐτὰ τὰ ἀδιαίρετα, καὶ πῶς τὸ κακόν, ἢ τὴν στέρησιν, καὶ ὅτι, ὡς ὁ θεωρητικὸς νοῦς ἔχει περὶ τὰ νοητά, οὕτως ὁ πρακτικὸς



Ε.Γ. ΔΩΔΕΚ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

περὶ τὰ πρακτά, πλὴν ὅτι ἐκεῖνος μὲν καθόλου τὸ ἀληθὲς θεωρεῖ, οὗτος δὲ τὸ τινὶ βέλτιον, ἢ ποτέ, οὐ τὸ ἁπλῶς. Καὶ ἄλλα τοιαῦτα διέξεισιν ἀκόλουθα τοῖς περὶ αἰσθήσεως πρότερον, καὶ περὶ νοῦ ὕστερον εἰρημένοις. Καὶ ὅτι ὁ θεωρητικὸς νοῦς ἄλλως νοεῖ τὰ ἀχώριστα τῆς ὕλης, καὶ ἄλλως τὰ ἐξ ἀφαιρέσεως ἤτοι τὰ μαθηματικά. Εἰ γὰρ καὶ μὴ δύναται εἶναι τὸ τρίγωνον καθ' αὑτὸ εἰ μὴ ἐν ὕλῃ τινί, ἀλλὰ δύνανται τῷ νῷ διαιρεῖσθαι τῆς ὕλης, διότι οὐχ ὡρισμένην ὕλην ἔχει. Τὴν δὲ σιμότητα οὐ δύναται f. 219 νοεῖν | εἴτουν ὁρίζεσθαι ἄνευ τῆς ῥινός· ταύτης γὰρ ἰδίως ἐστὶ πάθος. Καὶ ὅτι ὁ νοῦς, εἰ δύναται, ὡς εἴρηται, τὰ ἔνυλα εἴδη νοεῖν χωρίζων τῆς ὕλης, δύναται νοεῖν καὶ τὰ κεχωρισμένα τῆς ὕλης, καίτοι ἔνυλος ὢν πως, ὡς ἐν σώματι τυγχάνων· οὐχ οὕτως μέντοι γε νοεῖν αὐτὰ δύναται ὡς ὑπὸ τῶν ἀΰλων καὶ θείων νοοῦνται νῶν· ἐκεῖνα γὰρ ἀεὶ καὶ συνεχῶς αὐτὰ θεωρεῖ.

Ὅτι ἐπαναλαμβάνει τὰ εἰρημένα, ὅτι ὁ ἐνεργείᾳ νοῦς αὐτά ἐστι τὰ εἴδη ἃ νοεῖ, ταὐτὸν δὲ εἰπεῖν τὰ ὄντα, διότι ἕκαστον τῶν ὄντων κατὰ τὸ εἶδός ἐστιν, καὶ ὥσπερ ἡ χεὶρ ὀργάνων ἐστὶν ὄργανον, οὕτως ἡ αἴσθησις καὶ ὁ νοῦς εἶδος τῶν εἰδῶν, ἡ μὲν τῶν κατ' αἴσθησιν, ὁ δὲ τῶν νοητῶν· δι' αὐτῶν γὰρ τῶν ἐν τοῖς οὖσιν εἰδῶν ἀντιλαμβανόμεθα. Καὶ ὅτι τὰ νοητὰ ὡς τρόπον τινὰ ἐν τοῖς αἰσθητοῖς ὄντα, ἐκεῖθεν εἴτουν ἐκ τῶν αἰσθητῶν τὴν ἀρχὴν τοῦ ταῦτα νοεῖν ποριζόμεθα, τῇ μὲν αἰσθήσει τὸ ὑποκείμενον λαμβάνοντες, τῇ δ' ἀφαιρετικῇ δυνάμει τοῦ νοῦ τὰ εἴδη ἀφαιροῦντες οὐκ εὐθὺς οὐδ' ἀμέσως, ἀλλὰ συλλογῇ μέσων φαντασμάτων τινῶν ὥσπερ ἐνδοτέρων τῆς ψυχῆς αἰσθημάτων, καὶ τούτοις ἐποχούμενος τοῖς φαντάσμασιν ὁ παθητικὸς νοῦς, τῷ φωτὶ τοῦ ποιητικοῦ καταλαμπόμενος νοῦ, γυμνὰ τὰ εἴδη καὶ εἰλικρινῶς θεωρεῖ ἄνευ τινὸς φαντάσματος καὶ ὅπερ αὐτὰ γίνεται. Ταῦτα προειρημένα καὶ ἐπαναλαμβάνεσθαι ὕστερον εἴρηται.

Ὅτι ἐπεὶ δύο ταῦτα μάλιστα καθόλου θεωρεῖται τῆς ψυχῆς ἴδια, τὸ γνωστικὸν καὶ τὸ κατὰ τόπον κινητικόν, διώρισται δὲ τὰ τοῦ γνωστικοῦ, ἐπάγει τὸν περὶ τοῦ κινητικοῦ λόγον, καὶ πολλὰ πρότερον ζητήσας καὶ λόγους ἀρχαίων θεὶς καὶ ἀντειπὼν ἐπάγει, ὅτι τῆς κατὰ τόπον κινήσεως ἐν ἀνθρώπῳ αἴτια νοῦς, φαντασία καὶ ὄρεξις· ἐν δὲ τοῖς ἄλλοις ζῴοις φαντασία μόνον καὶ ὄρεξις. Νοῦν δὲ ἐνταῦθα τὸν πρακτικὸν βούλεται, οὗ τὸ τέλος, οὐ τὸ ἀληθές, ὡς τοῦ θεωρητικοῦ, ἀλλὰ τὸ πρακτικὸν ἀγαθόν. Ἔστιν οὖν ἀρχὴ τῆς τοιαύτης κινήσεως τὸ ὀρεκτικὸν καὶ ἡ ὄρεξις, μέσον δὲ ἡ φαντασία, καὶ τελευταῖον ὁ νοῦς· οἷον κινεῖ μὲν ἡ ὄρεξις σκέπης φροντίσαι τῷ σώματι, τουτέστιν οἰκίας· ἡ δὲ φαντασία καὶ τὸ εἶδος αὐτῆς ἢ τὸ μέτρον προτείνει· εἶτα ὁ νοῦς τὰ πρὸς τὴν χρείαν ἐννοεῖ τῆς γενησομένης σκέπης, οἷον ξύλα καὶ λίθους, οἷς ὑποκεῖσθαι δεῖ τὸν θεμέλιον. f. 219v Καὶ γίνεται τὸ τέλος τοῦ πρακτικοῦ νοῦ | ἐν τῷ σκοπεῖν, ἀρχὴ τῆς πράξεως ἐν τῷ πράττειν. Ἐν οἷς δὲ μή ἐστι λόγος καὶ νοῦς, ἡ φαντασία τὸ

Ε.Υ.Δ. Κ.τ.Π IOANNINA 2006

πᾶν ποιεῖ μετὰ τῆς ὀρέξεως, καὶ ὁ νοῦς ἐν τοῖς αὐτὸν ἔχουσι τὴν κίνησιν ἐπεξεργαζόμενος συνοῦσαν ἔχει τὴν ὄρεξιν ὡς πρῶτον κινητικόν· θέλων μὲν γὰρ κινεῖ καὶ βουλόμενος. Ἡ δὲ βούλησις ὄρεξίς τις ἐστιν ἐν τοῖς τοιούτοις, τοῖς πρακτοῖς δηλαδή. Κινεῖ δ' ἔστιν οὗ, καὶ λογισμοῦ δίχα, ἡ ὄρεξις, ὡς ἐπὶ τῶν ἀκρατῶν. Καὶ νοῦς μὲν ἀεὶ κινῶν ἐστιν ὀρθῶς, ὄρεξις δὲ καὶ φαντασία νῦν μὲν ὀρθῶς, νῦν δ' οὐκ ὀρθῶς· ὀρθῶς μὲν εὐθυνομένη λόγῳ μόνῳ, οὐκ ὀρθῶς δὲ ἀγνοίᾳ ἢ πάθει ἐπισκοτουμένη.

Ὅτι κατὰ τὰ προειρημένα πλείω τὰ τῆς ψυχῆς μόρια εἶτουν αἱ δυνάμεις· τὸ θρεπτικόν, ὃ ταὐτόν ἐστι τῷ φυτικῷ, τὸ αἰσθητικόν, τὸ ὀρεκτικόν, τὸ βουλευτικόν, ὃ ταὐτόν ἐστι τῷ παθητικῷ νῷ, καὶ τὸ νοητικόν, ὃ ταυτόν ἐστι τῷ θεωρητικῷ νῷ. Καὶ ὅτι ἐν μὲν τοῖς λογικοῖς αἱ ὀρέξεις ἐναντίαι ἀλλήλαις γίνονται, ἐν οἷς ἐστιν αἴσθησις καὶ κατάληψις χρόνου καὶ τῶν τριῶν αὐτοῦ διαφορῶν· ὁ μὲν γὰρ νοῦς καὶ ἡ κατ' αὐτὸν ὄρεξις ἢ βούλησις εἰς τὸ μέλλον ὁρᾷ· ἡ δ' ἐπιθυμία καὶ ὅλως τὸ πάθος εἰς τὸ νῦν ἑκάστοτε ἕλκει· ἐν δὲ τοῖς ἀλόγοις τὸ νῦν ἑκάστοτε ἡδύ, μὴ συνορῶσι τὸ μέλλον. Καὶ ὅτι κινεῖ μὲν τὸ ὀρεκτικὸν τὸν ἔχοντα, κινεῖται δὲ αὐτὸ ὑπὸ τοῦ ὀρεκτοῦ, ὡς ἐπὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ εἴρηται. Ἔτι, ὀργανικὸν αἴτιον τῆς κατὰ τόπον κινήσεως ὁ περὶ καρδίαν τόπος, ἐξ ἧς ἀναπηγάζει τὸ ζωτικὸν τοῖς νευροῖς πνεῦμα ὀργανικὸν εἰς τὴν κίνησιν, κατ' ἄλλους δέ, τὸ εἰδητικὸν τῆς ζωῆς ἐν τῷ ζῴῳ, παρ' οὗ ἐστι καὶ τὸ ἠρεμεῖν καὶ τὸ κινεῖσθαι ὡς ἀρχῆς καὶ ὡς τέλους κινήσεως καθ' ὁμοιότητα τοῦ κέντρου τοῦ ἠρεμοῦντος, ἀπ' αὐτοῦ τε καὶ πρὸς αὐτὸ ἡ κίνησις γίνεται. Καὶ ὅτι ἡ μὲν αἰσθητικὴ φαντασία καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἐστὶν ἄλλοις πλέον τῶν ἄλλων· ἐπεὶ γὰρ ἡδονὴ ἔνεστιν αὐτοῖς καὶ λύπη, πάντως καὶ ἐπιθυμία τοῦ ἡδέος καὶ ὄρεξις, καὶ ἀχώριστος ἡ φαντασία. Ἀτελῆ μέντοι καὶ συγκεχυμένην τὴν φαντασίαν ἔχουσιν. Ἡ δὲ βουλευτικὴ ἐν τοῖς λογικοῖς ἐστὶ μόνοις, ἐν οἷς μετὰ ἐξέτασιν πλειόνων φαντασμάτων ἀνευρίσκεται τὸ αἱρετώτερον φάντασμα, ὅπερ αὐτοῖς τοῖς λογικοῖς καὶ τῆς δόξης αἴτιον γίνεται· τοῖς δὲ ἀλόγοις οὐκέτι, οἷς οὐδὲ σκέψις ἐστὶ καὶ συλλογισμός. Καὶ ὅτι ἐν τοῖς ἀνθρώποις νικᾷ ἐνίοτε ἡ ἄλογος ὄρεξις τὴν βούλησιν καὶ τὴν λογιστικὴν | [f. 220] ὄρεξιν, ὡς ἄλλοτε ἡ κρείττων καὶ ἀρχικωτέρα κρατεῖ. Καὶ κινεῖ τρόπον τινὰ συμπεριάγουσα ἡ ὄρεξις τὴν ὄρεξιν, ὥσπερ σφαῖρα σφαῖραν, ὡς ἡ τῶν ἀπλανῶν σφαῖρα ἀπ' ἀνατολῶν εἰς δυσμὰς κινουμένη τὰς ἄλλας τῶν πλανητῶν σφαίρας τὰς ἀντιπεριφερομένας, οὐχ ἑστῶσα τῆς οἰκείας κινήσεως, ὅμως ἑαυτῇ συμπεριάγει. Ἡ δὲ αἰσθητικὴ ὄρεξις, ἀκρατὴς οὖσα καὶ συμπεριάγουσα τὴν κρείττω, τὴν λογιστικήν, οὐχὶ καὶ πᾶσαν τὴν ἐν τῇ ψυχῇ λογικὴν δύναμιν συμπεριάγει· τὸ γὰρ ἐπιστημονικὸν αὐτῆς οὐ κινεῖται οὐδὲ κρατεῖται, ἀλλ' ἀκίνητον μένει καὶ ἑδραῖον ἐν τῷ οἰκείῳ εἶναι. Τὸ δέ ἐστι τὸ θεωρεῖν.

Ὅτι τῆς λογικῆς καὶ γνωστικῆς ὑπολήψεως τῆς μὲν οὔσης καθόλου,

Ε.Υ.Δήμης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῆς δὲ μερικῆς, τὸ κινεῖσθαι ἀπὸ τῆς κατὰ μέρος ἐστὶν ὑπολήψεως· τόδε γάρ τι πρακτέον εἶναι λογίζεται, δηλονότι τὸ κατὰ μέρος, καὶ αὐτίκα κινεῖται καὶ περαίνει τὸ ὀρεκτικόν, ὥσπερ ἐν τῷ συλλογισμῷ τῇ ἐλάττονι τῶν προτάσεων προσεχῶς ἕπεται καὶ σύνεστι τὸ συμπέρασμα· ἕως δ' ἂν ἡ μείζων ᾖ μόνη, οὐ γίνεται συμπέρασμα.

Ὅτι ἀνάγκη πᾶσι τοῖς ζῴοις γεννητοῖς τε καὶ φθαρτοῖς ἐνεῖναι τὴν θρεπτικὴν δύναμιν, δι' ἧς αὔξουσι καὶ ἀκμάζουσι καὶ φθίνουσιν· αἴσθησιν δὲ οὐκ ἀνάγκη ἐν πᾶσιν εἶναι τοῖς ζῴοις· τὰ γὰρ φυτὰ ζῇ μέν, οὐκ αἰσθάνεται δὲ διὰ τὸ ἁπλουστέροις χρῆσθαι σώμασιν καὶ οὐ συγκεκραμένοις ποικίλως πρὸς τὴν τῶν διαφόρων ποιοτήτων ἀντίληψιν, ὡς ἐν τοῖς αἰσθητικοῖς ἔχει τὰ σώματα. Διὰ τοῦτο δὲ καὶ ἐν τοῖς οὕτω συγκεκραμένοις σώμασιν ἔστιν ἡ ἀφή· ἐν δὲ τοῖς ἁπλουστέροις οὐκ ἔστιν, οἷα τὰ φυτά· ἔγγιστα γὰρ ἁπλοῦς εἰσι σώματος, πλείονος μετέχοντα τῆς γῆς μόνης, ἣ καὶ μάλιστα τῶν ἄλλων στοιχείων ἀναίσθητος. Αἴτιον δὲ τῆς ἐν τοῖς ζῴοις αἰσθήσεως, ὅτι τὰ πορευτικὰ ζῷα καὶ τέλεια· ἡ φύσις καὶ ἕνεκα τοῦ οἰκείου τέλους ποιεῖ, ὥστε καὶ μένειν καὶ εἶναι τῇ διαδοχῇ καὶ μὴ ἀπόλλυσθαι, ὡς καὶ περὶ πάντων τῶν γεννητῶν τοῦτο ἡ φύσις σκοπεῖ. Τοῖς μέντοι γε μόνοις ἐμψύχοις, οἷά εἰσι τὰ φυτά, οὐκ ἀναγκαία ἡ αἴσθησις· αὐτόθεν γὰρ ἔγγιστα συμπαροῦσαν ἔχει τὴν τροφὴν ἐξ ἀνάγκης ἐξ ὧν πέφυκε καὶ οὐσίωται διὰ τῶν δεδομένων ὀχετῶν καὶ διόδων τῆς φύσεως καὶ ὑπηρετικῶν μορίων. Τοῖς δὲ πορευτικοῖς ἀνάγκη αἴσθησιν
f. 220v εἶναι τῶν πελαζόντων καὶ οἷς πελάζει, | ὡς ἂν τὰ μὲν φάγῃ, τὰ δὲ ἀσπάζηται. Εἰ δὲ μὴ μετ' αἰσθήσεως πορεύοιντο καὶ ἀκρίτως, οὐκ ἂν εἴη πόρρω κινδύνου διόλου, καὶ φθείροιντο ἂν τάχιστα, καὶ ὁ σκοπὸς τῆς φύσεως συμφθείροιτο ἄν, ὁ περὶ τοῦ εἶναι ταῦτα καὶ μένειν τῇ διαδοχῇ. Τὰ δὲ φυτά, ὄντα πεπηγότα, οὔτε ἐκφεύγειν οἷά τέ ἐστι τὰ βλάπτοντα, οὔτε προσίεσθαι τὰ βέλτιστα, καὶ μάτην ἂν ᾐσθάνοντο. Τοῖς δὲ ζῴοις τοῖς πορευτικοῖς πρὸς τὸ ζῆν ἀναγκαιοτέρα καὶ τοῦ νοῦ ἡ αἴσθησις, καὶ ἄνευ αὐτῆς οὐκ ἂν ἔχοιεν ὅλως ζῆν. Καὶ πρὸς τῷ αἰσθητικῷ καὶ τὸ κριτικὸν αὐτοῖς πρόσεστι περὶ ὧν αἰσθάνονται, μάλιστα δὲ ἡ ἀφή ἐστιν αὐτοῖς ἀναγκαία ἡ εἰδικῶς λεγομένη, καίτοι καὶ πᾶσα διὰ τοῦτο αἴσθησις ἀφή πως λέγοιτ' ἄν· ἡ γὰρ γεῦσις ἀφή τις χυμῶν, καὶ αἱ ἄλλαι ὡσαύτως· ἧττον δὲ αἱ ἄλλαι αἱ τρεῖς. Οὐ γὰρ κατ' ἀνάγκην, ἀλλ' ἕνεκα τοῦ εὖ εἶναι μᾶλλόν εἰσιν. Δεῖ δὲ εἰδέναι καὶ ὅτι αἱ ὑπερβολαὶ αὐτὸ τὸ ζῷον φθείρουσιν· ὥσπερ γὰρ αἰσθητήριον ἡ ὅλη σὰρξ ἐστι τῆς ἀφῆς, καὶ ὅλης φθειρομένης τῆς τοιαύτης αἰσθήσεως ἐν τῷ ζῴῳ διόλου, ὅλον τὸ ζῷον φθείρεται: †

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# IV.

# Annotations sur d'autres ouvrages et opuscules.

## Sur le „De memoria et reminiscentia".

### Ἐκ τοῦ περὶ μνήμην καὶ ἀναμνήσεως βιβλίου.

Ὅτι ἄλλο μνήμη, καὶ ἄλλο ἀνάμνησις, καὶ οὐχ οἱ αὐτοί εἰσι μνημονικοί τε καὶ ἀναμνηστικοί· ὡς ἐπὶ τὸ πολὺ γὰρ οἱ μὲν εὐσύνετοι καὶ εὐφυεῖς ἧττον μνημονικοί, ἀναμνηστικοὶ δὲ μᾶλλον· οἱ δὲ βραδεῖς καὶ οὐκ εὐμαθεῖς μνημονικοὶ μᾶλλον.

Ὅτι τὰ ἐν τῷ μέλλοντι χρόνῳ, δοξαστὰ καὶ ἐλπιστά· τὰ δ' ἐν τῷ παρόντι καταληπτὰ αἰσθήσει ἢ μαθήσει· τὰ δ' ἐν τῷ παρελθόντι μνημονευτά.

Ὅτι μνήμη ἐστὶ τῆς αἰσθήσεως ἢ τῆς ὑπολήψεως ἐγκατάλειμμα τῷ νῷ καὶ πάθος, καὶ ἕξις αὐτῶν μετὰ χρόνου, ἢ φαντάσματος ἕξις, ὃ φάντασμα εἰκών ἐστιν αἰσθήματος προτέρου.

Ὅτι ἔνια τῶν ζῴων, ὅσα καὶ χρόνου αἰσθάνεται, ταῦτα καὶ μνημονεύει, ὡς ὁ ὄνος μνημονεύει τοῦ λάκκου ᾧ ἐμπέπτωκέ ποτε καὶ συντηρεῖ ἑαυτόν· τὰ δὲ πλεῖστα οὐκ αἰσθάνεται χρόνου· ὅθεν οὐδὲ μνημονεύει· καὶ ᾧ μέρει τῆς ψυχῆς αἰσθάνεταί τις, τούτῳ καὶ μνημονεύει, τῇ αἰσθητικῇ δηλονότι δυνάμει.

Ὅτι ἡ μνήμη ἐν τῷ αἰσθητικῷ τῆς ψυχῆς ἵσταται καὶ καθ' αὑτὸ τῶν αἰσθητῶν ἐστι· | κατὰ συμβεβηκὸς δέ ἐστι καὶ τῶν νοητῶν· ἔστι γὰρ καὶ f. 221
τὸ νοεῖν οὐκ ἄνευ φαντάσματος, καὶ ὥσπερ ὁ γεωμέτρης τὸ σχῆμα διαγράφων οὐ προστίθεται περὶ τοῦ ποσοῦ τοῦ σχήματος, ἕπεται δ' ὅμως ἀχωρίστως τῷ διαγράφειν καὶ ποσὸν ὁτιοῦν τοῖς διαγραφομένοις σχήμασιν, οὕτω καὶ ὁ νοῦς τὴν τῶν καθόλου προβεβλημένος καὶ ἐπιστητῶν θεωρίαν, ἐξ ἀνάγκης συνεφέλκεται τὰ φαντάσματα, καὶ μὴ χρήζων, ὥσπερ τὸ λευκὸν νοῶν ἔχει συνεπόμενον καὶ τὸ τοῦ ποσοῦ φάντασμα, ᾧ συμβέβηκε τὸ λευκόν. Οὕτω δὲ καὶ τὸν χρόνον, ὡς τῇ αἰσθήσει κατειλημμένον κατὰ τὸ φανταστικόν, ὡς ἑπόμενον καὶ αὐτὸν νοεῖ· ὥστε ἡ μνήμη πάθος ἐστὶν εἴτουν ἕξις τῆς κοινῆς καὶ πρώτης αἰσθήσεως, καὶ ἔστιν οὐκ ἄνευ φαντάσματος καὶ σὺν χρόνῳ.

Ὅτι καθάπερ ἐν κηρῷ ἡ σφραγὶς γινομένη διὰ τοῦ δακτυλίου μένει, οὕτω καὶ ὁ τοῦ αἰσθήματος τύπος ἐν τῷ κατὰ ψυχὴν πρώτῳ καὶ κοινῷ αἰσθητηρίῳ ἐνσημαινόμενος μένει· καὶ ὥσπερ ἐν τοῖς ὑγροτέροις οὐκ ἐντυποῦται σφραγίς, οὕτω καὶ ἐν τοῖς εὐκινήτοις καὶ ὑγροτέροις ἢ διὰ νόσον, ἢ δι' ἡλικίαν νεάζουσαν μνήμη οὐ γίνεται· καὶ ὥσπερ αὖ ἐν τοῖς εὐθρύπτοις σώμασιν ἢ σκληροτέροις οὐκ ἐντυποῦται σφραγίς, οὕτω καὶ ἐν τοῖς διὰ γῆρας σκληροτέροις καὶ καταυανθεῖσιν οὐ ῥάδιον ἐντυποῦσθαι

Ε.Υ. Δημ.Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

τὸ διὰ τῆς αἰσθήσεως πάθος καὶ τὴν ἕξιν τῆς μνήμης. Τῷ αὐτῷ δὲ λόγῳ καὶ οἱ λίαν ταχεῖς τῶν ἀνθρώπων καὶ οἱ λίαν βραδεῖς ἀμνήμονες, καὶ τοῖς μὲν οὐκ ἐμμένει πολὺ τὸ φάντασμα, τῶν δὲ οὐδὲ ἅπτεται.

Ὅτι τὸ γεγραμμένον ζῷον, εἰ τύχοι Κορίσκου εἰκών, ἔστι μέν τι καθ' αὑτὸ ὡς γραφικῆς ἔργον· ἔχει δὲ καὶ πρὸς τὸν Κορίσκον ἀναφοράν, τὴν πρὸς ἐκεῖνον εἰκάσθαι, καὶ ἓν ὂν τῷ ὑποκειμένῳ, τῷ λόγῳ θεωρεῖται διχῶς· οὕτω καὶ τὸ φάντασμα ἐν τῇ ψυχῇ ἔστι μὲν ὡς ἐννόημα αὐτῆς καὶ ἐνέργημα· ἔστι δὲ καὶ ὡς μνημόνευμα προσγεγονότος εἴτουν εἰκόνισμα. Καὶ ὅτι αἱ μελέται, ὧν τις πεπείραται, σῴζουσι τὴν μνήμην τῇ συνεχείᾳ τοῦ ἐπιμνημονεύειν.

Ἀνάμνησις δέ ἐστιν ἀνανέωσις τῆς προτέρας μνήμης, ὅταν λήθη τις ἐμπεσοῦσα τὴν συνέχειαν διαλύσῃ τῆς ὅλης μνήμης, ὡς τὰ μὲν τῆς μνήμης εἶναι μένοντα τρανὰ καὶ σαφῆ, τὰ δὲ ἀμυδρὰ καὶ οἷον ἐζοφωμένα, καὶ διὰ τῶν σῳζομένων καὶ φανερῶν τὰ μὴ δῆλα καὶ ἠμαυρωμένα ἀνανεοῦνται καὶ ὅλη αὐτῶν ἡ συνέχεια ἀπαρτίζεται· ὅθεν καὶ μνήμη τίς ἐστιν
f. 221 v ἡ ἀνάμνησις. Ὧν γὰρ τελείως ἐπιλανθανόμεθα, | ἀναμανθάνοντες ἀνακτώμεθα. Ἀναμιμνησκόμεθα δέ, ὅταν τινὰ ἐν τῇ μνήμῃ ἔχοντες μένοντα, δι' αὐτῶν καὶ τὸ ἐκλεῖψαν ἢ ἀμαυρωθὲν ἐκ τῶν αὐτοῖς συνημμένων ἀναλαμβάνοντες ὅλον ἀναπληρῶμεν τὸ φάντασμα εἴτουν μνημόνευμα. Ἀναμιμνήσκονται δὲ οἳ μὲν ἔκ τινος ἀνάγκης, οἳ δὲ κατ' ἔθος δι' εὐφυΐαν, καὶ οἱ εὐφυέστεροι ἀναμνηστικώτεροί εἰσιν, ἐξ ὁμοίου τινός, ἢ ἔστιν ὅτε καὶ ἐναντίου, ἢ μέρους τινὸς τὸ σύμπαν συναθροΐζοντες ἐν τῇ μνήμῃ. Καὶ γίνεται μὲν ἐνίοτε ἡ ἀνάμνησις μετὰ ζητήσεως, ἐνίοτε δὲ καὶ χωρὶς ζητήσεως· καὶ γίνονται μὲν τῶν συνεγγύς, ὁμοίως δὲ καὶ τῶν πορρωτέρω τε καὶ πολυχρονίων. Εὐμνημονεύτερα δὲ τὰ τάξιν ἔχοντα καὶ ἀκολουθίαν, ὥσπερ τὰ μαθήματα, διὰ τὸ ἡρμοσμένον αὐτῶν καὶ εὐακολούθητον. Ἐνίοτε δὲ καὶ ἀπὸ τόπων ἐγγίνεται τὸ ἀναμιμνήσκεσθαι, καθόλου δὲ ἡ τοῦ μέσου εὕρεσις ἀρχὴ γίνεται ῥᾴων, τῆς ὅλης ἀναμνήσεως ἐφ' ἑκάτερα χωρούσης ἀπὸ τοῦ μέσου τῆς μνήμης· μέγιστον δὲ πρὸς τὴν μνήμην τε καὶ ἀνάμνησιν τὸ γνωρίζειν τὸν χρόνον ἢ ὡρισμένῳ τινὶ μέτρῳ, ἢ καὶ ἀορίστως, ὅτι ἔγγιστα· καὶ οὐκ ἔστι μνήμην ἢ ἀνάμνησιν ἐνεργεῖσθαι, μὴ συννοουμένου τοῦ χρόνου. Συμπεριέχονται δὲ καὶ ταῖς μείζοσιν αἱ ἐλάττονες μνῆμαι. Ὅταν οὖν ἅμα ἡ τοῦ τε πράγματος αὐτοῦ καὶ τοῦ χρόνου ἐννόησις τῷ τε μνημονεύοντι καὶ τῷ ἀναμιμνησκομένῳ, τότε μνήμη ἐστὶ καὶ ἀνάμνησις· ἄνευ δὲ τούτων, οἰόμενοί τινες μνημονεύειν, οὐ μνημονεύουσι καὶ διαψεύδονται.

Διαφέρει δὲ μνήμη καὶ ἀνάμνησις, ὅτι ἡ μὲν μνήμη προτέρα τῷ χρόνῳ, ἡ δὲ ἀνάμνησις ἐπὶ τῇ μνήμῃ ἐστίν. Καὶ ἡ μὲν μνήμη καὶ ζῴοις ἐστί τισιν· ἡ δ' ἀνάμνησις τοῦ ἀνθρώπου πέφυκε μόνον, συλλογισμός τις οὖσα καὶ ἔκ τινων εἰλημμένων ζήτησις τῶν ἑξῆς καὶ ἀνεύρεσις, ὅπερ

Ε.Υ.Δ.Ε.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀνθρώπῳ μόνῳ προσήκει, ᾧ καὶ τὸ βουλευτικὸν ἔνεστι φύσει· τὸ γὰρ βουλεύεσθαι συλλογισμός τίς ἐστιν.

Ὅτι εἰ καὶ διανοίας ἐστὶ καὶ τοῦ βουλευτικοῦ τὰ τῆς ἀναμνήσεως, ἀλλ' ἐν σωματικῷ τινι μέρει τὸ πάθος τουτὶ θεωρεῖται· τὰ γὰρ εἴδωλα τῶν φαντασμάτων ἐνόντα τῇ καρδίᾳ κινεῖ ἡ ἀνάμνησις, ὥστε τέλειον ἀνανεῶσαι καὶ καταστῆσαι ζητοῦσα τὴν μνήμην. Καὶ ἀναλογεῖ ἡ μὲν καρδία τῷ χάρτῃ, τοῖς δὲ γράμμασι τὰ φαντάσματα. Διάνοια δέ ἐστιν ἡ ἀναγινώσκουσα καὶ ἀναμιμνησκομένη ταῦτα ὡς ἐν χάρτῃ τῇ καρδίᾳ. Σημεῖον δὲ τοῦ σωματικόν πως εἶναι τὴν ἀνάμνησιν, ὅτι μὴ δυνάμενοι τινὲς | ἀναμνησθῆναι τινῶν ὧν βούλονται, καὶ θέλοντες ἀφίστασθαι τοῦ f. 222 ζητεῖν τὴν ἀνάμνησιν· οἱ δὲ καὶ οὕτω πάλιν ἐνοχλοῦνται· κινεῖται γὰρ αὐτῶν ἡ διάνοια, καὶ μὴ βουλομένων, ὡς ὅταν τις πεινῶν καὶ κατέχων ἑαυτόν, ὅμως οὐδὲν ἧττον αὖθις κινεῖται πρὸς τὴν τοῦ φαγεῖν ζήτησιν· τοῦτο δ' οὐκ ἂν ἦν, εἰ μὴ σωματικὸν ἦν πάθος τὸ τῆς ἀναμνήσεως· κινηθείσης γὰρ τῆς καρδίας καὶ τοῦ ἐν αὐτῇ ὑγροῦ ἐν τῷ ἐπιχειρεῖν ἀναμιμνήσκεσθαι, οὐ ῥᾳδίως αὖθις κατέχεται, ἀλλ' ἐνοχλεῖται μὴ τυγχάνουσα καὶ μὴ βουλομένη· ὥσπερ ἂν καὶ εἴ τις μὴ θέλων ἕλκηται παρά τινος εἰς αὐτὸν ἐπιστρέφεσθαι. Δῆλον δὲ τοῦτο ἐν τοῖς μελαγχολῶσιν, ἐν οἷς, φαντάσματός τινος μὴ κατὰ γνώμην κινηθέντος, πάμπολλα σωρηδὸν ἐπεγείρεται καὶ παρενοχλεῖ τὴν διάνοιαν διὰ τὴν εὐκινησίαν τοῦ ἐν τῇ καρδίᾳ αὐτῶν ὑγροῦ· ἡ γὰρ μελαγχολία πνεύματος ὑγροῦ καὶ παχέος ἐστὶ κίνησις· ὥστε δῆλον, ὡς ἡ τῶν φαντασμάτων κίνησις σωματικόν τί ἐστι καὶ ἐν σώματι πάθος, ὡς καὶ ὀργή, ζέσις τοῦ περὶ καρδίαν αἵματος οὖσα, καὶ φόβος ψύξις ὑπάρχων αὐτοῦ, ἃ συμβαίνει τῷ αἵματι, τῶν παθῶν κινηθέντων· καὶ οὐ δύναται λωφᾶν εὐθὺς ἡ κίνησις τοῦ ὑγροῦ ἅπαξ κινηθέντος· ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἀναμνήσεως. Τοῖς δὲ ὑγροτέροις τὸν αἰσθητικὸν τόπον τὸν κατὰ τὴν καρδίαν ταῦθ' οὕτω συμβαίνει· καὶ οἱ τὰ ἄνω δὴ τῶν σωμάτων ἔχοντες μείζω, εἴτουν οἱ νανώδεις λεγόμενοι, ἀμνημονέστεροι τῶν ἐναντίως ἐχόντων εἰσὶν διὰ τὸ πολὺ βάρος ἔχειν ἐπὶ τῷ αἰσθητικῷ τοῦ σώματος μέρει, καὶ μήτε ῥᾳδίως τὰς τῆς μνήμης κινήσεις ἐξ ἀρχῆς ἐν αὐτῷ δύνασθαι γίνεσθαι καὶ διαλύεσθαι γινομένας, μήτε ῥᾳδίως εὐθυπορεῖν ἐν τῷ ἀναμιμνήσκεσθαι.

## Sur le „De somno et vigilia“

### Περὶ ὕπνου καὶ ἐγρηγόρσεως.

Ὅτι ὕπνος καὶ ἐγρήγορσις τῷ αὐτῷ τοῦ ζῴου μέρει ὑπάρχουσιν· ἐν γὰρ τῷ αὐτῷ δεκτικῷ τὰ ἀντικείμενα, ὥστε καὶ ταῦτα ἐν τῷ αὐτῷ. Τὸ δέ ἐστι τὸ αἰσθητικὸν καὶ τὸ αἰσθάνεσθαι· καὶ δῆλον ὡς αἰσθάνεται μὲν ὁ ἐγρηγορῶν, ὁ δὲ ὑπνώττων οὐκ αἰσθάνεται. Ὅθεν ἐν τοῖς ἐμψύχοις